# Ἀκολουθία Νεομάρτυρος ΜΑΡΙΑΣ τῆς Μεθυμοπούλας

**Ψαλλομένη τῇ 1η Μαΐου**

**Ποίημα Δρ. Χαραλάμπους Μπούσια**

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρά Προσόμοια. Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Κρίνον εὐωδέστατον, ἐκ τῆς Φουρνῆς ἀνεβλάστησας, ἐν ὑστέροις τοῖς ἔτεσι, Μαρία ὑπέρτιμε, καὶ τῆς παρθενίας, ὀδμαῖς μυροβόλοις, καὶ μαρτυρίου ἀληθῶς, τὴν οἰκουμένην πᾶσαν ἐμύρισας. Διό σε μακαρίζοντες, τὴν σὴν παγγέραστον ἄθλησιν, ἀνυμνοῦμεν γηθόμενοι, Νεομάρτυς τῆς πίστεως.

Ἄστρον παμφαέστατον, ἐκ Μεραμβέλλου ἀνέτειλας, καὶ ὑφήλιον ἅπασαν, Μαρία ἐφώτισας, παρθενίας φέγγει, καὶ ἀνδραγαθίας, σοῦ γὰρ τὸν πλοῦτον ὁ φρικτός, συλῆσαι θέλων τῆς Ἄγαρ ἔκγονος, ἁγνείας τὸν ἀσύλητον, καθάπερ ὄρνιθα ἔτρωσε, καὶ τὰς πτέρυγας ἔκοψε, χοϊκῆς συναφείας σου.

Θῦμα ὡς εὐπρόσδεκτον, καὶ ἱερὸν καλλιέρημα, τῷ Χριστῷ προσενήνεξαι, Μαρία πανάριστε, πολιᾷ φρονήσει, εἰ καὶ ἡλικίαν, διῆγες την νεανικήν. Διόπερ πόθον τοῦ χωροφύλακος, τὸν ἄνομον ἀπέκρουσας, τοῦ δυσσεβοῦς καὶ παράφρονος, καὶ ἀθλήσασα ἔδραμες, πρὸς νυμφῶνα οὐράνιον.

Μνήμην τὴν ἀκήρατον, καὶ πανσεβάσμιον σήμερον, ἐκτελοῦντες γηθόμενοι, Μαρίας κραυγάζομεν, τῆς καρτεροψύχου. Νύμφη γλυκυτάτη, τοῦ Ζωοδότου καὶ Θεοῦ, μὴ διαλίπης καθικετεύουσα, αὐτὸν διδόναι ἄφεσιν, ἁμαρτιῶν τοῖς ἑκάστοτε, μελωδοῦσιν ἐν ἄσμασι, τὴν λαμπράν σου ἐνάθλησιν.

Δόξα. Ἦχος δ΄.

Τοῦ νοητοῦ σου Νυμφίου τῇ ἀγάπῃ ἐρηρεισμένη, ὡς ὁλοκάρπωμα θεῖον Αὐτῷ προσηνέχθης, Μαρία παρθενομάρτυς ἀοίδιμε. Ἀποκρουσαμένη γὰρ τὸν ἀσεβὴ μανικὸν χωροφύλακα, ὡς περιστερὰ ἄμωμως μαρτυρικῶς ἔδραμες, ὑπαντῆσαι τῷ Πλάστῃ σου. Καὶ νῦν σὺν παρθένοις καὶ Ἀθληφόροις ἀγαλλόμενη, καὶ τοῦ κάλλους τοῦ Κυρίου ἀπολαύουσα, μὴ παύσῃ δυσωποῦσα, ὑπὲρ τῶν τιμώντων σε.

Καὶ νῦν. Τῆς ἑορτῆς.

Εἰς τὸν Στίχον.Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Βλάστημα τῆς Φουρνῆς, ἡδὺ καὶ πανωραῖον, φαιδρότης νεανίδων, καὶ νεοάθλων αὖχος, Μαρία ἀναδέδειξαι.

Στ. *Ὑπομένων ὑπέμεινα τὸν Κύριον...*

Χαίροις περιστερά, ἐν κλώνοις τῆς μωρέας, Μαρία ἡ βληθεῖσα, ὑπὸ χειρὸς ἀπίστου, ἐν τοῖς ὑστέροις ἔτεσι.

Στ. *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.*

Ῥεύμασι τῶν σεπτῶν, αἱμάτων σου Μαρία, ἐφοίνιξας ἁγνείας, τὴν χλαῖνά σου καὶ ὤφθης, Μαρτύρων ἰσοστάσιος.

Δόξα. Τριαδικόν.

Δόξαν Σοι παγγενεί, προσφέρομεν ἀπαύστως, Θεότης τρισολβία, Πάτερ Υἱὲ καὶ Πνεῦμα, τῶν γηγενῶν τὰ τάγματα.

Καὶ νῦν.Θεοτοκίον.

Ἄσπιλε Μαριάμ, ἁγνείας ὑποθήκη, ἀξίωσον γεραίρειν, ἡμᾶς καλῶς τὴν ὄντως, Μαρίαν καλλιπάρθενον.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον.Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Χριστὸν καθικέτευε ὑπὲρ ἡμῶν ἐκτενῶς, Φουρνῆς ἐγκαλλώπισμα καὶ νεοάθλων τερπνόν, Μαρία λευκάνθεμον· ἔρωτα γὰρ ἀπίστου, ἀρνηθεῖσα ἐδείχθης, βλῆμα θανατηφόρον, ἐξ αὐτοῦ ὡς στρουθίον, καὶ πτέρυγας πρὸς τὸν Κτίστην, ψυχῆς σου ἐπέτασας.

Ἕτερον. Ἦχος πλ.α΄. Τὸν συνάναρχον Λόγον.

Εὐσεβούντων οἱ δῆμοι ἐγκωμιάσωμεν, Μεθυμοπούλαν Μαρίαν τὴν ἐκ Φουρνῆς ἐκτενῶς, ὡς ἀμνάδα τοῦ Παντάνακτος πανάσπιλον, κράζοντες· πρέσβευε Χριστῷ, Νεομάρτυς θαυμαστή, ὡς ὄρνις ἐπὶ μωρέας, ὑπὸ στυγνῆς ἡ τρωθεῖσα, χειρὸς σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἕτερον. Ὁ αὐτός. Εὐαγγέλου Παχυγιαννάκη, Ἱερέως.

Τῆς Τριάδος τὴν πίστιν καλῶς ἐτήρησας, καὶ δι᾽ αἱμάτων σου ταύτην καλλιγραφοῦσα πιστῶς, τὰς ἐνέδρας τοῦ ἐχθροῦ πάσας διέφυγες· ὅθεν ἠγώνισαι στεῤῥῶς, ὡς παρθένος εὐκλεής, ὦ Νεομάρτυς Μαρία. Διό σε πάντες τιμῶμεν, τὰς σὰς πρεσβείας ἐξαιτούμενοι.

Καὶ νῦν. Τῆς ἑορτῆς.

Ἀπόλυσις.

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Μετὰ τὸν Προοιμιακόν στιχολογοῦμεν τὸ *Μακάριος ἀνήρ.* Εἰς δὲ τὸ *Κύριε ἐκέκραξα* ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τὴν Νεομάρτυρα πάντες Μαρίαν μέλψωμεν, μελισταγέσιν ὕμνοις, ὡς ἐχθρὸν καθελοῦσαν, ἐν χρόνοις τοῖς ὑστέροις καὶ τὸν Χριστόν, ἀνδρικῇ μεγαλύνασαν, ἐνστάσει ὅτι ἐκόσμησεν ἀληθῶς, Ἀθληφόρων τὴν ὁμήγυριν.

Ὁ μανικὸς χωροφύλαξ τῆς Ἄγαρ ἔκγονος, ὁ σὲ μιᾶναι θέλων, ἐπὶ δένδρου μωρέας, συλλέγουσα Μαρία σε κατιδών, φύλλα πάγκαλε ἔτρωσαι, χειρὶ ἀνόμων καὶ δήμοις Ἀθλητριῶν, εὐσταλῶν σε συνηρίθμησε.

Τῆς παρθενίας ταμεῖον τὸ ἀδαπάνητον, τὴν κεχαριτωμένην, τῆς Φουρνῆς θείαν κόρην, τὴν νύμφην τοῦ Δεσπότου καὶ Λυτρωτοῦ, ἀληθῶς χρηματίσασαν, Μαρίαν πάντες τιμήσωμεν εὐλαβῶς, ὡς σεπτὴν Παρθενομάρτυρα.

Κεκοσμημένη ἁγνείᾳ ψυχῆς καὶ σώματος, Μαρία σηροτρόφε, ἐκ τοῦ ἔαρος ὥρᾳ, μετέστης πρὸς λειμῶντας τῶν οὐρανῶν, δι’ ἀρίστης ἀθλήσεως, ἵνα κοσμήσῃς ἐκεῖσε ἀθλητριῶν, τοὺς χοροὺς σεμνὴ καὶ ἄμωμε.

Ὁ ποθεινός σου Νυμφίος Μαρία πάνσεμνε, ὥσπερ Αυτοῦ ἀμνάδα, καὶ πανάσπιλον νύμφην, ἐν δόμοις ἀθανάτου δόξης λαμπρῶς, σὲ δεξάμενος ἔστεψε, δι’ ἀφθαρσίας στεφάνων τὴν εὐπρεπῆ, κορυφήν ἀξιέραστε.

Τὴν καλλιπάρθενον κόρην τὴν τοῦ ἀλάστορος, ὀφρὺν τὴν ἐπηρμένην, ἐν Φουρνῇ Μεραμβέλλου, πατήσασαν ὡς ῥόδον μυρεψικόν, παρθενίας τιμήσωμεν, καὶ στεῤῥοτάτης ἐνστάσεως ἐκτενῶς, εὐσθενῆ Μαρίαν ἅπαντες.

Δόξα. Ἦχος β΄.

Νεανικὴν παριδοῦσα ἀκμὴν καὶ κάλλος, καὶ παρθενικὴν κεκοσμημένη λαμπρότητα, μαρτυρίου ἤνυσας τρίβους, Μαρία πανένδοξε. Τῇ σῇ γὰρ ἀνενδότῳ ἐνστάσει, τοῦ ἐρωτομανοῦς τε καὶ ἀπίστου τὸ θράσος ἀπήμβλυνας, ὑπεράνω σαρκὸς καὶ φθαρτῶν ἡδέων γενομένη. Προσενεχθεῖσα οὖν ὡς μυστικὴ θυσία, καὶ ὁλοκάρπωμα θεῖον Χριστῷ τῷ Παντάνακτι, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τῆς ἑορτῆς.

Εἴσοδος, Φῶς ῾Ιλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα (Κεφ. λ’ 10-26).

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει;τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη, θαρσεῖ ἐπ’ αὐτῇ ἡ καρδία τοῦ ἀνδρὸς αὐτῆς, ἡ τοιαύτη καλῶν σκύλων οὐκ ἀπορήσει· ἐνεργεῖ γὰρ τῷ ἀνδρὶ εἰς ἀγαθὰ πάντα τὸν βίον. Μηρυομένη ἔρια καὶ λίνον, ἐποίησεν εὔχρηστα ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν,συνάγει δὲ αὐτῆς τὸν πλοῦτον, καὶ ἀνίσταται ἐκ νυκτῶν καὶ ἔδωκε βρώματα τῷ οἴκῳ καὶ ἔργα ταῖς θεραπαίναις· θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ τῶν

καρπῶν τῶν χειρῶν αὐτῆς κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς, ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὁ λύχνος αὐτῆς ὅλην τὴν νύκτα. Τοὺς πήχεις αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τὰς δὲ χεῖρας αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ, οὐ φροντίζει τῶν ἐν οἴκῳ ὁ ἀνὴρ αὐτῆς, ὅταν που χρονίζῃ· πάντες γὰρ οἱ παρ᾽ αὐτῇ ἐνδεδυμένοι εἰσί. Διττὰς χλαίνας ἐποίησε τῷ ἀνδρὶ αὐτῆς, ἐκ δὲ βύσσου καὶ πορφύρας ἑαυτῇ ἐνδύματα, περίβλεπτος δὲ γίνεται ὁ ἀνὴρ αὐτῆς ἐν πύλαις, ἡνίκα ἂν καθίσῃ ἐν συνεδρίῳ μετὰ τῶν πρεσβυτέρων καὶ κατοίκων τῆς γῆς. Σινδόνας ἐποίησε, καὶ ἀπέδοτο τοῖς Φοίνιξι καὶ περιζώματα τοῖς Χαναναίοις. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο,καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (γ´ 1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι,καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν,καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτόν,συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (ε´ 15-23, στ´ 1-3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν,καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει

αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, Βασιλεῖς, καὶ σύνετε· μάθετε Δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τὴν Λιτήν, Ἰδιόμελον τῆς τυχούσης ἑορτῆς ἕν.

Εἶτα τῆς Νεομάρτυρος. Ἦχος α΄.

Τὴν ἐκ Φουρνῆς ἀθληφόρον νεανίδα, τὴν ῥυθμιζομένην τῷ φόβῳ Κυρίου, Μαρίαν τὴν Μεθυμοπούλαν, ἐκτενῶς οἱ πιστοὶ ἐγκωμιάσωμεν. Αὕτη γὰρ διασώσασα τὸν τῆς ἁγνείας πλοῦτον, τοῦ δυσσεβοῦς χωροφύλακος τὴν μανίαν καθεῖλε, τῇ ἀλκιφρόνῳ αὐτῆς ἐνστάσει καὶ ψυχῆς στεῤῥότητι· ὅθεν σφραγίσασα τὸ θεοφιλὲς αὐτῆς φρόνημα, αἱμάτων ἐκχύσεσι, καὶ εἰς θείους θαλάμους ἀνελθοῦσα, Χριστῷ πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β΄.

Τῇ κογχύλῃ τῶν ἰδίων σου αἱμάτων, πορφυρώσασα τὴν τῆς ἁγνείας σου στολήν καρτερόψυχε, ὑπαντῆσαι τῷ Νυμφίῳ ἀνέδραμες, εἰς ούράνιον παστάδα. Παριδοῦσα γάρ τὸ χαῦνον τοῦ θήλεος, ἀνδρικῇ παῤῥησίᾳ ἐτροπώσω τὸν τῆς Ἄγαρ ἀπόγονον, Μαρία Ἀθληφόρε καλλιπάρθενε, Μεραμβέλλου ὡραΐσμα. Καὶ νῦν τοῦ Χριστοῦ τὸ πρόσωπον,

ὁρῶσα ἰδίαις κόραις, καὶ τῆς ἀλήκτου χαρᾶς γενομένης, μέτοχος ἐν πόλῳ, μὴ παύσῃ δεομένη, ὑπὲρ τῶν τιμώντων τὴν μνήμην σου.

Ἦχος γ΄.

Τὴν παρακαταθήκην τῆς πίστεως κληρονομήσασα, Μαρία ὑπέρτιμε, τοῖς ἐπερχομένοις ἡμῖν κατέλιπες, ὡς κλῆρον πολύτιμον, ὃν καθυπέγραψας διὰ τοῦ τιμίου σου αἵματος. Εὐγνωμονοῦντές σε ὅθεν, χριστωνύμων οἱ σύλλογοι, καὶ τὴν εὐσθενῆ σου ἔνστασιν ὁμολογοῦντες, τὸν σε ἰσχύσαντα Κύριον ἀπαύστως δοξάζομεν, Νεομαρτύρων νεανίδων ἀπαύγασμα.

Ἦχος δ΄.

Ἀγάλλεται σήμερον ἡ γενέτειρά σου κώμη, καὶ ἡ νῆσος Κρήτη γάννυται, τοιοῦτον κρίνον πίστεως ἐξανθήσασα. Σὺ γὰρ οὐκ ἐφείσω τῆς ἀκμῆς τῆς ἡλικίας σου, ἀλλ' ἀπτοήτως ἀντέστης, ταῖς τοῦ ἀπίστου κολακείαις καὶ προσρήσεσι. Καὶ νῦν ἐν οὐρανοῖς εὐφραινομένη, μὴ παύση δυσωποῦσα Μαρία, καταπεμφθῆναι ἡμῖν, τοῦ σοῦ Νυμφίου τὸ ἔλεος.

Δόξα. Ὁ αὐτός.

Τὴν καλλιμάρτυρα παρθένον, τὴν ἐν Φουρνῇ ἀλκίμως μαρτυρήσασαν, ἐν τοῖς δυσχειμέροις τῆς δουλείας ἔτεσι, φιλεόρτων αἱ χορεῖαι, Μαρίαν τὴν πανεύφημον ᾠδαῖς εὐφημήσωμεν. Αὕτη γὰρ τοῦ τῆς Ἄγαρ ἐκγόνου καθεῖλε τὸ φρύαγμα. Καὶ πλήσασα αὐτὸν αἰσχύνης, ἀθλητικῶς ἀπῆλθεν ὑπαντῆσαι τῷ αὐτῆς Νυμφίῳ καὶ πρεσβεύειν ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τῆς ἑορτῆς.

Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Δεῦτε, φιλομαρτύρων χοροί, τὴν ἐν Φουρνῇ τοῦ Μεραμβέλλου ἀθλήσασαν, Μαρίαν Μεθυμοπούλαν, τοῖς μύροις εὐωδιῶν, ῥάνωμεν κροτοῦντες νῦν πανήγυριν, καὶ κράζοντες· πάγκαλε, Νεομάρτυς πανεύφημε, ἡ μισοκάλου, τὴν ἰσχὺν καθαιρέσασα, τῇ ἐνστάσει σου, καὶ σεμνῇ πολιτείᾳ

σου, πρέσβευε τῷ Παντάνακτι, Χριστῷ καὶ Νυμφίῳ σου, ἀγαπητῷ δοῦναι πᾶσι, τοῖς εὐλαβῶς σε γεραίρουσιν, ἰσχὺν ἐπιθέσεις, ἀντικροῦσαι τὰς δολίους, τοῦ παναλάστορος.

Στ. *Ὑπομένων ὑπέμεινα τὸν Κύριον...*

Χαίροις, Παρθενομάρτυς στεῤῥά, ἡ τὸν Νυμφίον Ἰησοῦν ἀγαπήσασα, ἐξ ὅλης σου τῆς καρδίας, καὶ ὥσπερ προῖκα αὐτῷ, Μεραμβέλλου κόρη ἀξιάγαστε, ἁγνείας τὸν πλοῦτον σου, καὶ ῥοὰς τῶν αἱμάτων σου, προσενεγκοῦσα, ἐν δουλείας τοῖς ἔτεσι, καὶ συντρίψασα, παλαιμναίου τὴν δύναμιν. Σὺ γὰρ ἀκμὴν νεότητος, καὶ κάλλος τοῦ σώματος, τοῦ χοϊκοῦ παριδοῦσα, Μαρία κάλλος οὐράνιον, ἐπόθησας ὄντως, τὸ εἰς πάντας τοὺς αἰῶνας, μὴ παρερχόμενον.

Στ. *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου...*

Χαίροις, περιστερὰ ἐκλεκτή, καὶ παναμώμητος τοῦ πάντων δεσπόζοντος, Κυρίου ἡ τῆς ψυχῆς σου, τὰς καθαρὰς καὶ λαμπράς, πτέρυγας πρὸς ὕψος ἐκπετάσασα, οὐράνιον χάριτι, θεϊκῇ ἔνθα χαίρουσιν, Ἀγγέλων δῆμοι, καὶ Μαρτύρων τὰ τάγματα, συναγάλλονται, νεανίδων ὑπόδειγμα. Σὺ γὰρ τὸν δυσσεβέστατον, ἐκπρόσωπον τάξεως, καὶ μανικὸν ἐρωτύλον, τοῦ ἐρασμίου προσώπου σου, ἀπέκρουσας τάχος, καὶ ἐνήθλησας Μαρία, ὑπὲρ τῆς πίστεως.

Δόξα. Ἦχος πλ.δ΄.

Ἐνδυσαμένη τὴν πανοπλίαν τῆς πίστεως, καὶ θωρακίσασα σεαυτὴν ἁγνείᾳ καὶ συνέσει, τὰς ἐπιβουλὰς τοῦ ἀλάστορος ἀπέκρουσας, Μαρία πάνσεμνε. Πύργος ὅθεν ὀφθεῖσα εὐσεβείας ἀῤῥαγέστατος, καὶ σεμνότητος ὀχύρωμα, χάριν εὗρες καλλιμάρτυς, πρεσβεύειν ὑπὲρ τῶν τιμώντων, τὴν πανσέβαστον μνήμην σου.

Καὶ νῦν. Τῆς ἑορτῆς.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον.Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Χριστὸν καθικέτευε ὑπὲρ ἡμῶν ἐκτενῶς, Φουρνῆς ἐγκαλλώπισμα καὶ νεοάθλων τερπνόν, Μαρία λευκάνθεμον·

ἔρωτα γὰρ ἀπίστου, ἀρνηθεῖσα ἐδείχθης, βλῆμα θανατηφόρον, ἐξ αὐτοῦ ὡς στρουθίον, καὶ πτέρυγας πρὸς τὸν Κτίστην, ψυχῆς σου ἐπέτασας.

Ἕτερον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Εὐσεβούντων οἱ δῆμοι ἐγκωμιάσωμεν, Μεθυμοπούλαν Μαρίαν τὴν ἐκ Φουρνῆς ἐκτενῶς, ὡς ἀμνάδα τοῦ Παντάνακτος πανάσπιλον, κράζοντες· πρέσβευε Χριστῷ, Νεομάρτυς θαυμαστή, ὡς ὄρνις ἐπὶ μωρέας, ὑπὸ στυγνῆς ἡ τρωθεῖσα, χειρὸς σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἕτερον. Ὁ αὐτός. ΕὐαγγέλουΠαχυγιαννάκη, Ἱερέως.

Τῆς Τριάδος τὴν πίστιν καλῶς ἐτήρησας, καὶ δι᾽ αἱμάτων σου ταύτην καλλιγραφοῦσα πιστῶς, τὰς ἐνέδρας τοῦ ἐχθροῦ πάσας διέφυγες· ὅθεν ἠγώνισαι στεῤῥῶς, ὡς παρθένος εὐκλεής, ὦ Νεομάρτυς Μαρία. Διό σε πάντες τιμῶμεν, τὰς σὰς πρεσβείας ἐξαιτούμενοι.

Καὶ νῦν. Τῆς ἑορτῆς.

## ΟΡΘΡΟΣ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.

Ἀμνὰς πανευκλεής, τοῦ τιμίου ποιμνίου, Χριστοῦ τοῦ ἀγαθοῦ, Ἀρχιποίμενος δῶρον, Αὐτῷ προσενήνοχας, πολυτίμητα χεύματα, τῶν αἱμάτων σου, νεᾶνις Μάρτυς Μαρία, καλλιπάρθενε, καὶ σῆς ἁγνείας οὐσίαν, διὸ καὶ δεδόξασαι.

Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ὁ φύλαξ τῆς τάξεως, ἐν τῇ πατρίδι τῇ σῇ, Μαρία ὁ ἄπιστος, ἐν δυσχειμέροις καιροῖς, δουλείας συλῆσαί σου, πλοῦτον τῆς παρθενίας, βουληθεὶς κατησχύνθη, ὅθεν καὶ ὡς στρουθίον, σὲ ἀπέκτεινε Μάρτυς, καὶ δρόμους σοι πρὸς δόμους, χαρᾶς θείας διήνοιξε.

Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος γ΄. Τὴν ωραιότητα.

Ὑπὲρ τῆς πίστεως, καλῶς ἠγώνισαι, καὶ παρθενίας σου, τὴν ὡραιότητα, σὺν ταῖς αἱμάτων σου ῥοαῖς, προσήνεγκας τῷ Κυρίῳ, προῖκα ὡς πολύτιμον, καλλιμάρτυς ἀήττητε, ὅθεν σε γεραίρομεν, τὸ μαρτύριον σέβομεν, τὸ σὸν καὶ γεγηθότες βοῶμεν· χαίροις Μαρία στεφηφόρε.

Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.

Οἱ Ἀναβαθμοί· τὸ α’ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον. *Ὑπομένων, ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.*

Στ. *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.*

Εὐαγγέλιον, ζήτει τῷ ΙΖ΄ Σαββάτῳ Ματθαίου.

Ἀνάστασιν Χριστοῦ θεασάμενοι...

Ὁ Ν΄ Ψαλμός.

Δόξα. Ταῖς τῆς Ἀθληφόρου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον.Ἦχος πλ. β΄. Στ. *Ἐλέησόν με ὁ Θεός…*

Φύλαξ πίστεως καὶ ἁγνείας ἄγρυπνος ὑπάρχουσα, τὸν μιαρὸν καὶ ἄπιστον φύλακα τῆς τάξεως, ἀπέπεμψας θεϊκῇ δυνάμει, Μαρία καλλιπάρθενε Μάρτυς ἀοίδιμε· ὅθεν ὡς στρουθίον ὑπ’ αὐτοῦ ἐτρώθης, οὖσα ἐπὶ των κλώνων μωρέας, καὶ τῷ ἰδίῳ σου νεανικῷ αἵματι, ἐπορφύρωσας τὰς τῆς ἁγνῆς σου ψυχῆς, πανασπίλους πτέρυγας. Καὶ νῦν τῶν ἀφθάρτων ἀγαθῶν ἀπολαύουσα, καὶ κοινωνὸς γενομένη πάντων τῶν Μαρτύρων τῆς πίστεως, πρέσβευε Κυρίῳ διδόναι πᾶσιν, ὑγείαν ψυχῆς καὶ σώματος.

Οἱ Κανόνες· τῆς ἑορτῆς καὶ τῆς Ἁγίας β΄.

Ὁ α΄ Κανὼν τῆς Ἁγίας, οὗ ἡ ἀκροστιχίς: *Μαρίαν νεόδρεπτον ἴον ἁγνείας μέλπω. Χ*(αραλάμπους).

Ὠδὴ α΄. Ἦχος πλ.δ΄. Ὑγρὰν διοδεύσας.

Μαρίαν λευκάνθεμον μυριστόν, ἐν χρόνοις δουλείας ἐξανθῆσαν ἐκ τῆς Φουρνῆς, καὶ κόσμον ἡδῦναν παρθενίας, ὀδμαῖς Παντάναξ ὑμνῆσαι ἀξίωσον.

Ἀνδρείως ἐπάταξας τὴν ὀφρύν, ἀμόλυντε κόρη τοῦ τῆς Ἄγαρ στυγνοῦ υἱοῦ, καὶ ἤνυσας τρίβους μαρτυρίου, ὑπὲρ Χριστοῦ τοῦ Σωτῆρος ἀθλήσασα.

Ῥοαὶ τῶν αἱμάτων σου τῶν ἁγνῶν, ἐφοίνιξαν κλώνους τῆς μωρέας ἧς θαυμαστή, Μαρία συνήθροιζας τὰς φύλλα, χειρὸς ἀπίστου τρωθεῖσα ἐκ βλήματος.

Θεοτοκίον.
Ἰδεῖν τὸν Υἱόν Σου καὶ Λυτρωτήν, ἐν πόλει τῇ ἄνω καταξίωσον τοὺς πιστῶς, ὑμνοῦντάς Σε Πάναγνε Παρθένε, τοὺς ἐπὶ γῆς πόλιν μεῖναι οὐκ ἔχοντας.

Κανὼν δεύτερος, φέρων Ἀκροστιχίδα τήνδε: *Ἔπαινος πρέπει τῇ σώφρονι Μαρίᾳ. Κυρίλλου.* Ποίημα Μητροπολίτου Ῥόδου Κυρίλλου Κογεράκη.
ᾨδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.
Ἐκλάμπρυνον Κύριε, τὴν σκοτισθεῖσαν καρδίαν μου, καὶ λόγον τῷ στόματι δός μοι ὦ Λόγε Θεοῦ, ὡς ἄν ᾄσμασι, ὑμνήσω γηθοσύνως, Μαρίαν τὴν νύμφην Σου καὶ Νεομάρτυρα.

Πλειὰς οὐρανόφωτος, ταῖς ἀρεταῖς τῆς ἁγνείας σου, καὶ ἄθλων σου σκάμμασι, τῇ Ἐκκλησίᾳ Χριστοῦ, ἐξανέτειλας, Μαρία πανολβία, πυρσεύουσα ἅπαντας τοὺς σὲ γεραίροντας.

Ἁγνείας τοῖς κάλλεσι, ψυχὴν καὶ σῶμα κοσμήσασα, τὴν γνώμην ἠκύρωσας, τοῦ ἀκολάστου ἐχθροῦ, καὶ ἐνήθλησας, ὑπὲρ τῆς σωφροσύνης, ἐσχάτοις ἐν ἔτεσι, Μαρία ἔνδοξε.

Ἰσχὺν ἐν καρδίᾳ σου, Χριστὸν θεμένη τὸν Κύριον, ἐχθροῦ τοῦ ἀλάστορος, τὴν ψυχοφθόρον βουλήν, διεσκέδασας, Μαρία Ἀθληφόρε, καὶ ὤφθης ἀήττητος, Μάρτυς τῆς πίστεως.

Θεοτοκίον.

Νυστάζοντα Ἄχραντε, τῇ ἀμελείᾳ τὸν δοῦλόν Σου, διόρθωσον δέομαι, ἐπιστασίᾳ τῇ Σῇ, καὶ ἀξίωσον, ἐργάζεσθαι τα ἔργα, τοῦ ἐκ τῆς νηδύος Σου, ἐνανθρωπήσαντος.

Ὠδὴ γ΄. Οὐρανίας ἁψίδος.

Ἀθληφόρων ἀμνάδων τοῦ Ἰησοῦ κόσμημα, αἵματι Μαρία σῷ θείῳ, τῆς παρθενίας σου, περιβολὴν καθαράν, κατεπορφύρωσας Μάρτυς, ὑψηλὸν τῆς πίστεως ἔχουσα φρόνημα.

Νεομάρτυς Μαρία Φουρνῆς λαμπρὸν κλέϊσμα, κάλλος τῆς μορφῆς σου συλῆσαι καὶ τῆς ἁγνείας σου, οὐσίαν ὁ μιαρός, ἐχθρὸς τῆς πίστεως θέλων, πρὸ τῆς σῆς ἐνστάσεως ἄλαλος ἔμεινε.

Νικηφόρον ἀγῶνα παρθενικὸν σέμνωμα, νύμφη τοῦ Χριστοῦ γλυκυτάτη ἄρτι ἀνύσασα, κατ' ἀπογόνου στυγνοῦ, τῆς Ἄγαρ εἴληφας στέφος, ἐκ χειρῶν τοῦ Κτίσαντος θείας λαμπρότητος.

Θεοτοκίον.

Ἐλεήμονα Λόγον τὸν τοῦ Θεοῦ τέξασα, Κύριον ἡμῶν καὶ Σωτῆρα Θεογεννήτρια, δι' εὐσπλαγχνίαν πολλήν, τὸν Σὸν οἰκτρὸν δοῦλον κράζω, ὡς οἰκτίρμων οἴκτιρον, ἵνα δοξάζω Σε.

Ἕτερος. Τοὺς Σοὺς ὑμνολόγους.

Ὅλη διαλάμπουσα τῇ αἴγλῃ, Μαρία σεμνὴ τῶν ἀρετῶν, ἐπέβης τῷ ὀχήματι, τοῦ μαρτυρίου χαίρουσα, καὶ δόξαν πρὸς οὐράνιον, πανευπρεπῶς ἀνελήλυθας.

Στολὴν τῆς ψυχῆς σου τὴν λευκόχρουν, αἱμάτων τιμίων προχοαῖς, Μαρία πορφυρώσασα, πρὸς θάλαμον ἐχώρησας, ζωῆς τῆς ὑπὲρ ἔννοιαν, ἔνθα τῷ Λόγῳ νενύμφευσαι.

Παστάδος τῆς ἄνω κληρονόμος, ὡς νύμφη ἀκήρατος Χριστοῦ, ἐδείχθης καλλιπάρθενε, καὶ νῦν Χριστοῦ τὸ πρόσωπον, ὁρᾷς τὸ ἀθεώρητον, σὺν Ἀρχαγγέλοις χορεύουσα.

Θεοτοκίον.

Ῥοαῖς μυστικαῖς τῆς χάριτός Σου, κατάρδευσον δεῦρο τὴν ψυχήν, τοῦ εὐτελοῦς ἱκέτου Σου, Μαρία Μητροπάρθενε, ἐν πίστει μακαρίζοντος, τὸν ἀκατάληπτον τόκον Σου.

Κάθισμα. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Τὴν ὀφρὺν ἐπάτησας, τοῦ ἀρχεκάκου, Νεομάρτυς δράκοντος, ῥωσθεῖσα χάριτι Θεοῦ, καὶ ἠνδραγάθησας ἄριστα, Μαρίαν νέον, τῆς πίστεως σέμνωμα.

Δόξα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον. Κυρίλλου.

Τῶν Μαρτύρων Μαρία ἰδίῳ αἵματι, θείοις χοροῖς συναφθεῖσα καὶ τῷ Νυμφίῳ Χριστῷ, παρεστῶσα εὐκλεῶς ἡμῶν μνημόνευε, τῶν ἐκτελούντων εὐλαβῶς, τὴν φαιδράν σου ἑορτήν, καὶ πόθῳ σοι ἐκβοώντων· χαῖρε ἀήττητε Μάρτυς, τοῦ Μεραμβέλλου ἡ εὐπρέπεια.

Καὶ νῦν. Τῆς ἑορτῆς.

ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.

Ὁλοθύμως πανεύοσμον, κρίνον παρθενίας Μαρία ἔνδοξε, ἀντετάχθης τῷ ἀλλόφρονι, σοῦ ψυχὴν καὶ σῶμα φθεῖραι θέλοντι.

Διανοίας στεῤῥότητι, ἀντετάξω κόρη τῷ πολεμήτορι, καὶ ἰσχὺν αὐτοῦ κατήργησας, τοῖς αἱμάτων ῥείθροις τοῖς τιμίοις σου.

Ῥώμην θείαν καὶ δύναμιν, σῶμά σου Μαρία παρὰ τοῦ Κτίσαντος, ἐνεδύσατο τὸ ἄσπιλον, καὶ ἐχθροῦ τὸν φόβον ἐξεδύσατο.

Θεοτοκίον.

Εὐσυμπάθητε Δέσποινα, δρόσον ὡς νεφέλη ζωῆς μοι ὄμβρισον, μετανοίας καὶ τοὺς ἄνθρακας, τῶν δεινῶν πταισμάτων μου κατάσβεσον.

Ἕτερος. Ὁ καθήμενος ἐν δόξῃ.

Εὐψυχίᾳ κοσμουμένῃ ἀντετάξω τῷ δράκοντι, καὶ ὑπὲρ Λόγου τὸ θανεῖν Μαρία προκρίνασα, τῶν αἰωνίων ἐπάθλων κατηξίωσαι, καὶ συνήρμοσαι, τῷ ἀθανάτῳ Νυμφίῳ σου.

Πατρικὸν ὥς τινα κλῆρον τὴν ἁγνείαν φυλάττουσα, τῷ Κυρίῳ θῦμα ὄντως λογικὸν προσενήνεξαι, καὶ ἱερεῖον εὐπρόσδεκτον πανεύφημε, ᾧ καὶ ἔκραζες· δόξα Χριστὲ τῇ δυνάμει Σου.

Ἐξαγίστου ἀνωτέρα γνώμης ὤφθης ἐνστάσει σου, ἐντολὴν τὴν θείαν πάγκαλε Μαρία φυλάξασα, καὶ τὸν Χριστὸν τῇ ἀθλήσει σου ἐδόξασας, τὸν δοξάζοντα, ἐν Παραδείσῳ τοὺς Μάρτυρας.

Θεοτοκίον.

Ἱλασμὸν ἡμῖν δυσώπει τὸν Υἱόν Σου καὶ Κύριον, συμπαθῶς δοθῆναι ἄχραντε Μαρία θεόνυμφε, πρὸς Σὲ γὰρ Μῆτερ τὰ τέκνα Σου προστρέχομεν, τὴν βοήθειαν, τῶν εὐσεβῶν καὶ ἀντίληψιν.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Πᾶσαν τὴν βουλήν, τοῦ ἀλάστορος κατήσχυνας, καὶ ἐνέπλησας Μαρίας χαρμονῆς, τοὺς τιμῶντάς σε ὡς πίστεως θησαύρισμα.

Τεῖχος ἀῤῥαγές, ἀγλαὴ Μαρία δέδειξαι, ἀποκροῦον τὴν μανίαν τοῦ φρικτοῦ, χωροφύλακος μιᾶναι τοῦ ζητοῦντός σε.

Ὅρμῳ τῆς ζωῆς, ἐν ἀκμῇ τῆς ἡλικίας σου, προσεχώρησας Μαρία ἐκλεκτή, διαπλεύσασα καλῶς του βίου πέλαγος.

Θεοτοκίον.

Νέκρωσον ἡμῶν, τῆς σαρκὸς Θεογεννήτρια, τὰ ὁρμήματα καὶ ἴθυνον ἡμῶν, πρὸς τὴν ἄληκτον ζωὴν τὰ διαβήματα.

Ἕτερος. Ἐξέστη τὰ σύμπαντα.

Ταμεῖον τελέσασα Μαρία, τὴν καρδίαν σου πάσης ἀρετῆς, ἐν σοὶ τὴν χάριν τοῦ Παρακλήτου, ἐδέξω Πνεύματος, καὶ ὤφθης ὡραία καὶ καλή, ὅλη ἐξαστράπτουσα, εὐκοσμίᾳ τῆς χάριτος.

Ἠγήσω ὡς πάνσοφος, τὴν πρόσκαιρον ἀπόλαυσιν, ζημίαν θεόληπτε Μαρία, καὶ διὰ τέλους, μαρτυρικοῦ σου σεμνή, ἔσπευσας πρὸς κρείττονας σκηνήν, ἔνθα ἀπολαύσεως, αἰωνίου ἐπέτυχες.

Σωφρόνως ἀνύουσα, τὸν βίον σου πανεύφημε, τέθνηκας ὑπὲρ τῆς σωφροσύνης, καὶ τῶν Μαρτύρων, ἐν οὐρανοῖς τοῖς χοροῖς, Μαρία ἠρίθμησαι μεθ' ὧν, ὑπὲρ τῶν τιμώντων σε, τὸν Δεσπότην ἱκέτευε.

Θεοτοκίον.
Ὡραῖος ἐκ μήτρας Σου ἐλήλυθεν ὁ Κύριος, τῇ φύσει διπλοῦς Θεοκυῆτορ, καὶ τῆς κατάρας, τοῦ Πρωτοπλάστου Ἀδάμ, ἐῤῥύσατο πάντας τοὺς πιστῶς, μέλποντας τὸν τόκον Σου, τὸν φρικτὸν καὶ ἀνέκφραστον.

ᾨδὴ στ΄. Τὴν δέησιν.
Ἰσχύσασα, παρθενίας σέμνωμα, καὶ ἀγλάϊσμα Φουρνῆς Μεραμβέλλου, τῇ ἁπαλῇ σου σαρκὶ ἀντιστῆναι, ταῖς προσβολαῖς τοῦ τῆς τάξεως φύλακος, Μαρία σθένει θεϊκῷ, ὡς στρουθίον ἐτρώθης χρυσόπτερον.

Ὁμόζηλος, Ἀθληφόρων πέφηνας, ἐν τοῖς χρόνοις τῆς δουλείας τοῦ γένους, ἡμῶν Μαρία Κρητῶν ὡραιότης, ἡ τῶν παρθένων ἐν πόλῳ ὁμόσκηνος. Διὸ ὑμνοῦντές σε φαιδρῶς, τὴν λαμπράν σου τελοῦμεν πανήγυριν.

Νεόδρεπτον, Ἐκκλησίας λείριον, καὶ ἡδύπνευστον ἁγνότητος κρίνον, ὥσπερ ὀσφράδιον θεῖον Κυρίῳ, εἰς εὐωδίαν ὀσμην προσενήνεξαι, Μαρία πίστεως ἡμῶν, μυροθήκη ὡραία καὶ πάντερπνος.

Θεοτοκίον.
Ἁγίασον, Παναγία Δέσποινα, τοὺς γεραίροντας Μαρίας τὴν μνήμην, Παρθενομάρτυρος ὄντως ἀνδρείας, καὶ εἰς αἰῶνας αἰώνων ὑμνοῦντάς Σε, ὡς παρθενίας τιμαλφές, καὶ ἀτίμητον τέμενος Ἄχραντε.

Ἕτερος. Τὴν θείαν ταύτην.

Φωτὸς τὸν θάλαμον ᾤκησας, τοῖς ἔργοις τοῦ φωτὸς διαπρέψασα, Μαρία ἔνδοξε, καὶ τῷ φωτὶ τῶν χαρίτων σου, ἐνθέως καταυγάζεις, τοὺς εὐφημοῦντάς σε.

Ῥοαῖς αἱμάτων πανεύφημε, ἐχθροῦ τοῦ παγκακίστου τὴν δύναμιν, καταποντίσασα, ἔσχες Μαρία ἀκώλυτον, τὴν ἄνοδον πρὸς πλάτος, τὸ τῆς θεώσεως.

Ὁρᾷς νῦν κάλλος τὸ ἄῤῥητον, Χριστοῦ τοῦ πανωραίου Νυμφίου σου, ᾧ προῖκα δέδωκας, Μάρτυς  Μαρία τὸ αἷμά σου, ἐν τοῖς ἐσχάτοις χρόνοις ὑπεραθλήσασα.

Νυμφῶνα Μάρτυς πρὸς ἄφθαρτον, δραμοῦσα ἐκαρπώσω ἀθάνατον, χάριν καὶ εὔκλειαν, καὶ σὺν παρθένοις ἀπέλαβες, Μαρία ταῖς φρονίμοις δόξαν ἀείζωον.

Θεοτοκίον.
Ἰλύος Κόρη ἐξάγαγε, παθῶν τῶν σαρκικῶν τὸν ἱκέτην Σου, πίστει βοῶντά Σου· χαῖρε Μαρία πανάχραντε, τοῦ καθαροῦ Κυρίου, τερπνὸν παλάτιον.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.
Στεῤῥῶν ἀμνάδων τοῦ Χριστοῦ τὴν καλλιπάρθενον, τὴν ἐκ τῆς Κρήτης ὥσπερ ἄνθος εὐωδέστατον, ἐξανθήσασαν Μαρίαν τὴν Ἀθληφόρον, μελωδίαις καταστέψωμεν καὶ ᾄσμασιν, ὡς παρθένων νεανίδων κῆπον ἥδιστον, ἀνακράζοντες· Χαίροις Μάρτυς νεόαθλε.

Οἶκος.
Ἄνθος τερπνὸν ἁγνείας, ἀνεδείχθης Μαρία, καὶ πίστεως νεόδρεπτον κρίνον, ἐν Φουρνῇ τὸ βλαστῆσαν καλῶς, καὶ ὀδμαῖς ἡδῦναν εὐσεβεῖς ἅπαντας, ἀνδρείας καὶ συνέσεως, βοῶντάς σοι σεμνῶς τοιαῦτα·
Χαῖρε, δοχεῖον τῆς παρθενίας·
χαῖρε,  πυξίον στεῤῥοψυχίας.
Χαῖρε, γυναικῶν ἀλκιφρόνων ὑπόδειγμα·
χαῖρε,  εὐκλεῶν νεανίδων θησαύρισμα.
Χαῖρε, καύχημα τῆς πίστεως, καὶ σεμνότητος κανών·
χαῖρε,  ἔρεισμα ἁγνότητος, καὶ σοφίας λαμπηδών.

Χαῖρε, ὅτι κατεπάτησας, τοῦ ἀλάστορος ὀφρύν·
χαῖρε, ὅτι πᾶσιν ἔδειξας,εὐψυχίαν ἀνδρικήν.
Χαῖρε, χαρὰ Φουρνῆς καὶ ὡράϊσμα·
χαῖρε, φθορὰ ἀπίστων καὶ σύντριμμα.
Χαῖρε, ἀμνὰς ἐκλεκτὴ τοῦ Κυρίου·
χαῖρε, ψεκὰς μυστικοῦ θείου μύρου.
Χαίροις Μάρτυς νεόαθλε.

Συναξάριον.

**Τῇ Α' τοῦ αὐτοῦ μηνός, μνήμη τῆς Ἁγίας ἐνδοξου Νεομάρτυρος Μαρίας, τῆς ἐπονομαζομένης Μεθυμοπούλας, τῆς ἐκ Φουρνῆς τοῦ Μεραμβέλλου τῆς Κρήτης ὁρμωμένης καὶ ἐν αὐτῇ ἀθλησάσης ἐν ἔτει ᾳωκστ´ (1826).**

*Θήρατρα ἔρωτος ἔφυγες ἀπίστου,*
*ἔρωτι Μαρία τετρωμένη θείῳ.*
*Κάλλος ποθοῦσα κατιδεῖν του Νυμφίου,*
*Σώματος κάλλους ἠλόγησας Μαρία.*
*Μαρία πρώτῃ πτηνὸν καθάπερ Χριστοῦ ἐβλήθη.*

Αὐτῆς τῆς σωφρονεστάτης νεανίδος ἠράσθη Τουρκαλβανός τις χωροφύλαξ, ὅστις κατέβαλε πᾶσαν προσπάθειαν προσελκύσεως ταύτης εἰς τὸν μιαρὸν ἐκεῖνου ἔρωτα. Ὅσον ὅμως οὗτος προσεπάθει, τοσοῦτον ἡ μακαρία Μαρία ἀπεστρέφετο αὐτόν, ὡς ἀποτρόπαιόν τινα δαίμονα καὶ κακοῦργον. Μὴ δυνηθεὶς ὅθεν ὁ δυσσεβὴς καὶ αἱμοβόρος ἀπόγονος τῆς Ἄγας ἑλκύσαι αὐτήν, ἀπεφάσισε κολάσαι καὶ κακῶς αὐτὴν ἀποκτεῖναι, ὅπερ καὶ ἐποίησε διὰ τῶν ὅπλων, ἅτινα ἔφερεν ὡς χωροφύλαξ. Εὑρὼν μίαν τῶν ἡμερῶν τὴν Μαρίαν ἐπί τινος μωρέας συλλέγουσαν φύλλα, πρὸς διατροφὴν τῶν μεταξοσκωλήκων, ἔβαλε κατ’ αὐτῆς καὶ θανασίμως ἔπληξε τὴν αὐτῆς καρδίαν. Οὕτος ἔλαβεν ἡ πάγκαλος νύμφη τοῦ Κυρίου, τὸν τῆς ἀθλήσεως στέφανον καὶ στεφηφόρος ἀπῆλθεν ὑπαντῆσαι τῷ ποθεινῷ αὐτῆς Νυμφίῳ εἰς τὴν οὐράνιον παστάδα.

**Αὐτῆς ἁγίαις πρεσβείαις, Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.**

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Γνώμῃ ἀνδρειοτάτῃ ἀντετάξω Μαρία,τῷ παναλάστορι, ἐν σώματι τῷ ὄντι, νεάζοντι καὶ πάσας, ἐπιθέσεις ἀπέκρουσας, αὐτοῦ φρονήσει στεῤῥᾷ, καὶ ἀνδρικῇ δυνάμει.

Νεκρωθεῖσα ἐν κόσμῳ ἔρωτί σου πρὸς Κτίστην, ζωὴν αἰώνιον, ἐκέρδησας Μαρία, ἀθλήσασα τιμίως, ὅθεν πίστει γεραίρομεν, σὲ ὡς ἁγνείας πυρσόν, καὶ παρθενίας δᾷδα.

Ἐν παστάδι τῇ ἄνω ὁ τῶν ὅλων Δεσπότης, σὲ ὑπεδέξατο, ἀμόλυντον ὡς νύμφην, Μαρία θεοφόρε, καὶ στεφάνοις ἀθλήσεως, καὶ παρθενίας ὁμοῦ, κατέστεψε σὴν κάραν.

Θεοτοκίον.

Ἱλαρότητος σκεῦος χοϊκῶν Θεοτόκε διὰ τοῦ τόκου Σου, ἠνόρθωσας τὸ γένος, τὸ πεπτωκὸς εἰς χάος, τοῦ θανάτου πᾶν βρότειον, καὶ πύλας Ἅᾳδου χαλκᾶς, συνέτριψας Παρθένε.

Ἕτερος. Οὐκ ἐλάτρευσαν.

Μακαρίζομεν Κρητῶν σε τὰ συστήματα, ὅτι ἐνίκησας, τὸν παλαιὸν πτερνιστήν, Μαρία πανεύφημε, τῷ μαρτυρίῳ σου, καὶ βοῶμέν σοι· χαῖρε ἡ ὑπερθαύμαστος, τοῦ Σωτῆρος Νεομάρτυς.

Ἀκατάπληκτον Μαρία τὴν προαίρεσιν, σχοῦσα διέπλευσας, μαρτυρικῶς τῆς ζωῆς, τὴν ἄστατον θάλασσαν, καὶ τὸν ἀχείμαστον, τῆς θεώσεως, σὺν Ἀθλοφόρων τάγμασι, ἀληθῶς εὗρες λιμένα.

Ῥοῦν ἐξήρανας Μαρία τὸν ψυχόλεθρον, ῥείθροις αἱμάτων σου, τῆς ἀσεβείας σεμνή, ἀπίστου τῷ βλήματι, ὑπεραθλήσασα, διὸ σήμερον, οἱ εὐσεβεῖς ἐν ᾄσμασιν, εὐσεβάστως εὐφημοῦμεν.

Ἱερώτατον Μαρία προσενήνεξαι, Κυρίῳ σφάγιον, καὶ προσφορὰ ἐκλεκτή, θυμίαμα εὔοσμον, ζῶν ὁλοκάρπωμα, καὶ συνήρμοσαι, Αὐτῷ ὡς καλλιπάρθενος, ἀκηράτῳ συναφείᾳ.

Θεοτοκίον.

Ἀπειρόγαμε Μαρία ἡ κυήσασα, ζωῆς τὸν Πρύτανιν, δίδου βαδίζειν ἡμᾶς, καλῶς τὸν ἐπίγειον, δρόμον σῇ χάριτι, ὡς ἄν εὕρωμεν, ζωῆς τὴν θείαν εἴσοδον, διὰ Σοῦ τῆς Πανευσπλάγχνου.

ᾨδὴ η΄. Τὸν Βασιλέα.

Ἀμνὰς ἀρίστη, τοῦ Παντοκράτορος Λόγου, ὥσπερ θῦμα Αὐτῷ προσηνέχθης, τέλειον Μαρία, ἀθλήσασα νομίμως.

Συλῆσαι θέλων, ὁ μανικὸς χωορφύλαξ, τῶν ἀπίστων ἁγνείας σου ὄλβον, γενναιόφρον Μάρτυς, εἰς τέλος κατησχύνθη.

Μαρτύρων νέων, Μαρία ἔνθεε ὤφθης, λαμπηδὼν καταλάμπουσα πάντας, φωτειναῖς ἀνδρείας, ἀκτῖσι καὶ ἁγνείας.

Θεοτοκίον.

Ἐλέους κρήνη, εὐλογημένη Παρθένε, πολυχεῦμον ἐκ πάσης κηλῖδος, πλῦνόν με παθῶν μου, καὶ σῶσόν με Σὸν δοῦλον.

Ἕτερος. Παῖδας εὐαγεῖς.

Κλέος ἀναφαίρετος ὑπάρχεις, τῆς Κρήτης Παρθενομάρτυς τῆς πατρίδος σου, τῆς ἀνευφημούσης σε, νῦν καὶ ἐκβοώσης σοι· τῆς καθαρᾶς ἐν χάριτι, ζωῆς τὸ εὔοσμον, Μαρία ἀληθῶς χαῖρε ἄνθος, πᾶσι διαπνέον, τὴν θείαν εὐωδίαν.

Ὕμνοις σε τιμῶμεν κατὰ χρέος, Μαρία τῶν Ὀρθοδόξων τὰ συστήματα, σὺ γὰρ ὡς φρονήσεως, θεοπνεύστου ἔμπλεως, ὑπὲρ Χριστοῦ τὸν θάνατον, στεῤῥῶς προέκρινας, καὶ ᾔσχυνας ὑστέροις ἐν χρόνοις, τῶν υἱῶν τῆς Ἄγαρ, ὀφρὺν τὴν ἐπηρμένην.

Ῥείθροις τῶν πανσέπτων σου αἱμάτων, ψυχῆς σου ὑπεραφθόνως καταρδεύσασα, ἔνδοξε τὰς αὔλακας, μυστικῶς ἐξήνεγκας, τοὺς στάχυας τῆς κρείττονος, ζωῆς τῇ χάριτι, Θεοῦ τοῦ θαυμαστοῦ ἐν Ἁγίοις, Ὃν ἡμῖν Μαρία, ἱλέωσαι εὐχαῖς σου.

Θεοτοκίον.

Ἴασαι κατ' ἄμφω με νοσοῦντα, φαρμάκῳ τῆς μητρικῆς Σου ἀντιλήψεως, ἵνα ἐν εὐσήμῳ Σοι, ἀνακράζω στόματι· Μαρία χαῖρε Ἄχραντε, κρήνη ἰάσεων, δροσίζουσα τοὺς Σὲ εὐφημοῦντας, καὶ ὑπερυψοῦντας, τὸν ἄφραστον Σου τόκον.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Λαμπὰς παμφαεστάτη, φαίνουσα τὸν κόσμον, κλεινὴ Μαρία ἁγνείας πυρσεύμασι δουλείας ζόφον ἐδίωξας, τῇ ἀθλήσει σου.

Παρθένων νεανίδων, ἄγαλμα Μαρία, τὸ τῆς ψυχῆς σου πανάσπιλον ἔνδυμα, αἱμάτων ὄμβροις ἰδίοις, σοῦ ἐπορφύρωσας.

Ὡς δῶρον τόνδε ὕμνον, πρόσδεξαι Μαρία, ὃν πρὸς τιμὴν τῶν ἀγώνων σου ὕφανα, καὶ τῆς ψυχῆς μου θεράπευσον τὰ νοσήματα.

Θεοτοκίον.

Χειμάῤῥουν εὐσπλαγχνίας, Κεχαριτωμένη, τὸν Σὸν Υἱὸν καὶ Θεὸν πανευΐλατον, ἡμῶν δυσώπει διδόναι, πιστοῖς μετάνοιαν.

Ἕτερος. Ἅπας γηγενής.

Λάμπουσα αὐγαῖς, ἠθῶν καθαρότητος, ἀειμακάριστε, ἀνδρικῶς ὑπέμεινας, ὑπὲρ τοῦ θείου, νόμου τὸν θάνατον, καὶ ὤφθης ἰσοστάσιος, ὡς Μάρτυς ἔνδοξος, τῶν πρόπαλαι Μαρία Μαρτύρων, μεθ' ὧν τὸν Σωτῆρα, ὑπὲρ ἡμῶν δυσώπει.

Λόγοις ἱεροῖς, φαιδροῖς μελωδήμασι, ἐνθέοις ᾄσμασι, τῆς Φουρνῆς τὸ βλάστημα, Μάρτυς Μαρία, ἀνευφημοῦμέν σε,

βοῶντες· τὴν πατρίδα σου, σκέπε καὶ φύλαττε, καὶ ῥῦσαι πολυτρόπων κινδύνων, τοὺς ἀνακειμένους, σῇ κραταιᾷ πρεσβείᾳ.

Ὅλη τηλαυγῶς, ἁγνείας τοῖς κάλλεσιν, ὑπεραστράπτουσα, καὶ τοῦ μαρτυρίου σου, ἐῤῥαντισμένη, τῷ θείῳ αἵματι, Χριστῷ λαμπρῶς παρίστασαι, Ὃν καθικέτευε, δωρήσασθαι εἰρήνην τῷ κόσμῳ, καὶ τὴν σωτηρίαν, ἡμῖν τοῖς ὑμνηταῖς σου.

Θεοτοκίον.

Ὕμνοις καὶ ᾠδαῖς, ἀπαύστως τιμῶμέν σε, τὴν Ὑπερύμνητον, Σὺ γὰρ μόνη Δέσποινα, τὸν Θεὸν Λόγον ἀτρέπτως ἔτεκες, ἐκ τῶν ἁγνῶν αἱμάτων Σου, Ἀδὰμ ῥυόμενον, τὸν γενάρχην, τῶν ἀνθρώπων Ἄχραντε, ἐκ φθορᾶς καὶ θανάτου ὡς εὔσπλαγχνος.

**Ἐξαποστειλάριον.Ὁ οὐρανὸν τοῖς ἄστροις.**

Μαρία Μάρτυς Κυρίου, καὶ καλλιπάρθενε κόρη, λαμπὰς Φουρνῆς Μεραμβέλλου, ἡ καταυγάζουσα φωτί, ἁγνείας κόσμον καὶ τόλμης, σκέδασον λύπης μου ζόφον.

Ἕτερον. Γυναῖκες ἀκουτίσθητε. Κυρίλλου.

Ἀδούλωτον ἐφύλαξας, ψυχῆς σου τὴν εὐγένειαν, μὴ ὑποκύψασα Μάρτυς, βουλῇ ἀνδρὸς ἀκολάστου, καὶ ἀνδρικῶς ἀθλήσασα,συνήρμοσαι τῷ Κτίστῃ σου, προῖκα Αὐτῷ προσάξασα, τὸ αἷμά σου ὦ Μαρία, το τιμιώτατον ὄντως.

**Αἶνοι. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.**

Τὸν ἀρχέκακον δράκοντα, τὸν τὴν Εὔαν γυμνώσαντα, παραβάσει πρότερον κατενίκησας, δυνάμει θείᾳ πανένδοξε, Μαρία καὶ ἤθλησας, ἐν ἐσχάτοις τοῖς καιροῖς, τὴν ἀκμὴν τῆς νεότητος, καὶ τοῦ σώματος, παριδοῦσα τὸ κάλλος Νεοάθλων, ἐκμαγεῖον νεανίδων, περικαλλὲς καὶ περίβλεπτον.

Ὥσπερ προῖκα πολύτιμον, τῆς ἁγνείας οὐσίαν σου, καὶ ῥοὰς αἱμάτων τῶν παναςπίλων σου, τῷ σῷ Νυμφίῳ προσήγαγες, Μαρία πανεύφημε, ἡ λαμπρύνουσα χορούς,

τῶν Μαρτύρων τῆς πίστεως· ὅθεν σήμερον, τὴν σὴν μνήμην φαιδρῶς ἐπιτελοῦντες, γηγενῶν αἱ συστοιχίαι, σὲ εἰς αἰῶνας γεραίρομεν.

Τὸν πολύτιμον μάργαρον, τὸ ὡραῖον ὀσφράδιον, τὸν στεῤῥὸν ἀδάμαντα εὐφημήσωμεν, τῆς ἀκραιφνοῦς ἡμῶν πίστεως, Μαρίαν τὴν πάγκαλον, τὴν ἐνστάσει ἀνδρικῇ, καθελοῦσαν το φρύαγμα, τοῦ ἀλάστορος, καὶ κογχύλῃ αἱμάτων τῶν ἰδίων, πορφυρώσασαν τὴν χλαῖναν, ψυχῆς αὐτῆς τὴν ἀμόλυντον.

Ὡς λειμῶνα σεμνότητος, καὶ ἁγνείας ὑάκινθον, μυροβόλον πάντες ἀνευφημήσωμεν, τὸν θαλερῶς ἐξανθήσαντα, ἐν ὥρᾳ τοῦ ἔαρος, καὶ μυρίσαντα πιστούς, ἀνακράζοντες· εὔφρανον, τῇ σῇ χάριτι, Μεραμβέλλου νεᾶνις τρισόλβια, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν ἀεισέβαστον μνήμην σου.

Δόξα. Ἦχος πλ.β΄.
Ἀθλητικὴν ὁδεύσασα τρίβον ἐν ὑστέροις ἔτεσιν, ἐρωτικὴν μανίαν τοῦ ἀλλοθρήσκου ἐξέφυγες, Μαρία ὑπερθαύμαστε, ἀξίως οὖν εἰσῆλθες λαμπαδηφόρος, ὡς φρονίμη παρθένος καὶ Μάρτυς ἀνδρεία, εἰς τὰς αὐλὰς τοῦ ποθεινοῦ Νυμφίου καὶ Κυρίου σου. Αὐτῶν πρεσβείαις σου ἀξίωσον καὶ ἡμᾶς, ἀπολαῦσαι τοὺς τιμῶντας ἐν πίστει, τὴν φωτοφόρον μνήμην σου, φρονήσεως θεῖον μέλαθρον.

Καὶ νῦν. Τῆς ἑορτῆς.

**Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.**

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

**Τὰ Τυπικά, οἱ Μακαρισμοί καὶ ἐκ τοῦ Κανόνος τῆς Ἁγίας, ἡ γ΄ καὶ στ΄ ᾠδή.**

**Ἀπόστολον καὶ Εὐαγγέλιον ζήτει τῇ ΙΖ΄ Ἰουλίου.**

**Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.**

**Μεγαλυνάριον.**

Φεύγουσα τὸν ἔρωτα μιαροῦ, ἀλλοπίστου θῦμα, τῷ Νυμφίῳ σου καὶ Θεῷ, ἄμωμον προσήχθης, Μαρία Νεομάρτυς, Αὐτῷ τὴν σὴν ἁγνείαν, προῖκα προσφέρουσα.